124 δάκρυ' ὀμορξαμένην, ἀδινὸν στοναχῆσαι ἐφείην: οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ „ἀδινά". A[t].

ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον,
ὀψόμεναί τε γέρονθ' ἅλιον καὶ δώματα πατρός,

142 καί οἱ πάντ' ἀγορεύσατ' —:
παρὰ Ζηνοδότῳ „ἀγορεῦσαι"· καὶ ὑποφαίνει τὸ Ὁμηρικὸν ἔθος. A und dasselbe A[t]. Vgl. Lehrs Arist.[2] 24 f.

---

2 τοῖς εἰκαιοτέροις A, nicht ταῖς εἰκαιοτέραις: vgl. zu Ο 50 und Buttmann zu β 182. βλάβης] darnach καὶ κακώσεως ausgestrichen: vgl. Schol. AD „ἀρῆς ἀλκτῆρα" βλάβης καὶ κακώσεως ἀποτρεπτικόν, ὅ ἐστι κωλυτὴν καὶ βοηθόν, und Polak Ad Odyss. p. 424 u. 532. 6 σημαίνηται A ohne τὸ, Bekker σημαίνῃ τὸ (vgl. Her. Β 292. Ε 178. Ι 449. Ω 316). 21 περιττὸν] '*puto* ποιητικόν' Lehrs. 25 ἀδινὸν A im Text.. 26 ἀδινᾶι A[t] (ἀδιν. so Bekk.; '*si bene auguror, Aristarchus, ut numerum aliis redderet similem,* ἀδινὰ *restitutum voluit*' Spitzner, irrig).

῞Εκτωρ τε Πριάμοιο πάις, φλογὶ εἴκελος ἀλκήν.
155 τρὶς μέν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος ῞Εκτωρ
ἑλκέμεναι μεμαώς, μέγα δὲ Τρώεσσιν ὁμόκλα:
5 *Ζηνόδοτος γράφει οὕτως
„῞Εκτωρ τε Πριάμοιο [πάις] συῒ εἴκελος ἀλκήν,
ὅς μιν τρὶς μετόπισθε ποδῶν λάβε καὶ μέγ' ἀΰτει,
ἑλκέμεναι μεμαώς, κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει
πῆξαι ἀνὰ σκολόπεσσι ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς",
10 κακῶς. Ariston. Vgl. zu Vs. 174.
160 στάσκε μέγα ἰάχων· ὀπίσω δ' οὐ χάζετο πάμπαν:
*Ζηνόδοτος γράφει „μέγα ἀχέων". Ariston.
165 καί νύ κεν εἴρυσσέν τε καὶ ἄσπετον ἤρατο κῦδος:
vgl. zu Γ 373.
15 171 Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνή:
ἡ Ἀριστάρχου κατὰ γενικὴν „Πατρόκλου ἐπάμυνον"· ἐλλείπει
δὲ ἡ περί, περὶ Πατρόκλου. ὅμοιον δέ ἐστι τὸ „ὁ δ' οὐδ' οὗ
παιδὸς ἀμύνει" [Π 522]· κἀκεῖ γὰρ κατὰ γενικὴν γράφει. A.
174 οἱ δὲ ἐρύσσασθαι ποτὶ ῎Ιλιον ἠνεμόεσσαν:
20 *Ζηνόδοτος γράφει „῎Ιλιον αἰπὺ θέλοντες" καὶ τοὺς ἑξῆς ἀπὸ
τοῦ „ἑλκέμεναι μέμονεν" [176] ἕως τοῦ „πῆξαι ἀνὰ σκολόπεσσι"
[177] ἄνω μετατέθεικεν [s. zu 155]. Ariston.
182 Ἶρι θεά, τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκεν:
ἡ ἑτέρα τῶν Ἀριστάρχου διὰ τοῦ τ „τίς τάρ σε". μήποτε δὲ
25 ἀμείνων [? ἄμεινον, nämlich ἔχει] ἡ προτέρα, παρόσον σύνηθες
Ὁμήρῳ ἀπὸ τοῦ γάρ ἄρχεσθαι. A. Vgl. zu κ 189.
197 εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι κλυτὰ τεύχε' ἔχονται:
κατ' ἔνια „καλὰ τεύχε' ἔχονται". A[t].
198 ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι:
30 παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει διὰ τοῦ ο „αὐτός", ἵν' ᾖ

---

6 πάις fügte Heyne VII p. 451 zu. ἴκελος A, corr. Heyne. 9 σκόλοπας οἵ τάμονθ' A, σκολόπεσσι ταμόνθ' Heyne. 16 Ἀρίσταρχος κατὰ γενικὴν „Πατρόκλου". A[t]; Ἀρίσταρχος „Πατρόκλου" κατὰ γενικήν· καὶ λείπει ἡ περί. V. ἐλλείπει] *abhinc incipit Aristonici adnotatio a Friedlaendero p. 284 male omissa Lehrsio obtemperanti ad Π 522 p. 267.* Schmidt Did. p. 164. Indessen die Schlussbemerkung κἀκεῖ γὰρ κατὰ γενικὴν γράφει spricht für Lehrs und Friedländer: s. übrigens Einl. § 16. 17 οὗ] οὐ A. 28 τεύχεα A[t]. 30 Ζηνόδοτος „αὐτὸς", ἀντὶ τοῦ ψιλῶς δίχα ὅπλων. V Townl. in An. Par. III 287, 33.

αὐτὸς χωρὶς ὅπλων· (καὶ λόγον ἔχει χαρίεντα) καὶ οὐκ ἄλογός ἐστιν ἡ γραφή. A.

207 *ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται:*
οἱ περὶ Διονύσιον τὸν Θρᾷκά φασιν Ἀρίσταρχον πρῶτον ταύτῃ χρώμενον τῇ γραφῇ μεταθέσθαι καὶ γράψαι „ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται". ἐμφατικῶς τὸ ἐν πολέμῳ πῦρ ἐπιτεθὲν τῷ Ἀχιλλεῖ παρέβαλε τῷ ἐν πολεμουμένῃ ἁπτομένῳ. A.

οἵ τε πανημέριοι στυγερῷ κρίνονται Ἄρηι
210 *ἄστεος ἐκ σφετέρου· ἅμα δ' —:*
Ζηνόδοτος „ἄστυ ποτὶ σφέτερον". A^{t}V.

213 *αἴ κέν πως σὺν νηυσὶν Ἄρεὼς ἀλκτῆρες ἵκωνται:*
Ἀρίσταρχος „Ἄρεω", ἀπὸ τοῦ Ἄρεως. A^{t}V. Vgl. zu Vs. 100.

222 *οἱ δ' ὡς οὖν ἄιον ὄπα χάλκεον Αἰακίδαο:*
ἀμέτρως ὁ Ζηνόδοτος „ὄπα χαλκέην", οὐ συνεὶς ὅτι παραπλήσιόν ἐστι τὸ σχῆμα τῷ „κλυτὸς Ἱπποδάμεια" [*B* 742] *καὶ „θερμὸς ἀυτμή"* ['*hymn. in Mercur. 110?*' Bekk.]. A (Aristonikos?). Vgl. zu *Υ* 484. Einl. § 14.

230 *ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι*
ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσιν. αὐτὰρ Ἀχαιοὶ —:
* *Ζηνόδοτος γράφει*
„ἔνθα δὲ κοῦροι ὄλοντο δυώδεκα πάντες ἄριστοι
οἷσιν ἐνὶ βελέεσσι [*καὶ ἔγχεσιν*]".
Aristonikos.

247 *ἔξεσθαι· πάντας γὰρ ἔχε τρόμος, οὕνεκ' Ἀχιλλεὺς —:*
* *Ζηνόδοτος „φόβος", κακῶς.* Ariston.; s. zu *Τ* 14.

---

1 *καὶ λόγον ἔχει χαρίεντα* habe ich mit Lehrs und Schmidt gestrichen. 4 *Ἀρίσταρχος „ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται"· καὶ γὰρ ἄτοπόν, φησι, πῦρ εἰκάζεσθαι καπνῷ.* V; *ὁ δ' αὐτός, φασιν, Ἀρίσταρχος καὶ τὸ „ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται τηλόθεν ἐκ νήσου" οὕτω μεταγράφει „ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται", λέγων ὡς ἄτοπον τὸ πῦρ εἰκάσαι καπνῷ. οὐκ εὖ δέ, φασιν, ἐκεῖνος ποιεῖ.* Eust. 1139, 16. *πρῶτον*] *πρώτηι* A: vgl. Progr. Acad. Alb. Regimont. 1868 I p. 5. 6 *τὸ ἐν* Vill. st. *τῶι ἐν*. 10 *ποτὶ* Vill., *ποτὲ* A^t, *π* d. i. *περὶ* V. 12 *ἀπὸ τοῦ Ἄρεως* fehlt A^t. Eust. 1139, 13 *ἰστέον γὰρ ὅτι τὰ παλαιὰ τῶν ἀντιγράφων ἐκτείνουσιν ἐνταῦθα τὴν λήγουσαν τοῦ „Ἄρεως", ὡς ἀπὸ εὐθείας προδηλωθείσης Αἰολικῆς βαρυτόνου τοῦ Ἄρευς. τινὲς δέ φασι καὶ ὡς αἱ τοῦ Ἀριστάρχου ἐκδόσεις καὶ τοῦτο διὰ μόνου τοῦ ω̄ ἔχουσι· τοῦ „Ἄρεω" γάρ, ὡς τοῦ Μενέλεω καὶ τοῦ Πείρεω· οἷον „Πείρεω υἱόν".* 21 *ἔνθα δὲ* Heyne VII p. 463, *ἐνθάδε* A. 22 *ἐνὶ βελέεσσι* Heyne, *ἐν βελέεσσιν* A.

285 *Πουλυδάμα, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις*:
δίχα τοῦ ν̄, ὡς „Λαοδάμα, τί με ταῦτα κελεύετε“ [ϑ 153]. V Townl. in An. Par. III 288, 1. (*ἔδει σὺν τῷ ν̄ „Πουλυδάμαν“. τοιοῦτο δὲ καὶ τὸ Λαοδάμα, παρὰ τὸν ὀρθὸν λόγον.* A.) Vgl. zu *M* 231.

287 *ἦ οὔ πω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων*:
**Ζηνόδοτος γράφει „κεκόρησθον“*. Ariston.

317 *χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου*:
διὰ τοῦ σ̄ ἅπασαι „ἀνδροφόνους“. A[t]: nicht *ἀνδροφόνου*. (*ἀμφίβολον πότερον τὰς ἑαυτοῦ ἀνδροφόνους χεῖρας ὁ Ἀχιλλεὺς ἐπιθεὶς τῷ τοῦ ἑταίρου στήθει, ἢ τὰς τοῦ ἀνδροφόνου Πατρόκλου ἐπιθεὶς τῷ ἰδίῳ στήθει. βέλτιον δὲ τὸ πρότερον.* Aristonikos und Nikanor: s. Friedländer z. St.) Vgl. zu *Ψ* 18.

321 *πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν*:
†*Ἀρίσταρχος γὰρ ἰχνεύει*. V. Dieses verdorbene Scholion soll nach Nauck (s. seine Iliasausgabe) bezeugen, dass Aristarch *ἴχνε'* geschrieben habe: eine kühne und wenig wahrscheinliche Conjectur. Eher könnte *Ἀρίσταρχος* aus *ἄριστα* corrumpirt sein: s. zu *N* 351. (*Ψ* 483 schrieb A[t] *ἀριό* für *ἄριστε*.)

338 *τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως*:
διὰ τοῦ ᾱ „αὔτως“ πᾶσαι εἶχον. A[t]: nicht *οὕτως*. Vgl. zu 584. *N* 810. *Φ* 106. *μ* 284.

364 *πῶς δὴ ἔγωγ', ἥ φημι θεάων ἔμμεν ἀρίστη*:
παρὰ Ζηνοδότῳ κατὰ Δώριον „ἐγών“. A. Vielleicht ist *καταδόριον* (so Cod.) aus *ἄκρον Δώριον* (s. Ariston. *Z* 262) oder *ἄκρατον Δώριον* (Did. *Θ* 378) verdorben.

376 *ὄφρά οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα*:
οὕτως· ἐν δὲ ταῖς εἰκαιοτέραις „θεῖον κατὰ δῶμα νέοιντο“. AV

---

3 *με*] *μοι* Townl. 15 *ἴχνι* so V. 22 *αὐτως* A[t] (im Text ist der Spiritus ausradirt). Man unterschied *αὔτως* = *μάτην* oder, wie Ariston. *Σ* 584 es erklärt, *κενῶς καὶ πρὸς οὐδέν* (Herakleides bei Apollon. Adv. p. 174, 6 Schn.; Epim. Hom. I 5, 10 Cram.; Et. M. 172, 40; Et. G. 94, 47; Schol. B zu *A* 133) von *αὕτως* = *οὕτως* oder *ὁμοίως* (Tryphon bei Apollon. Adv. p. 174, 3 Schn.; Epim. Hom. 5, 11; Et. M. 172, 40; Et. G. 94, 48; Schol. B zu *A* 133; Schol. Par. bei Cramer A. P. III 125, 4; Schol. V zu *Δ* 17 und *Ω* 413; Draco de metr. p. 43, 22). Hier wird *αὔτως* in V durch *ὡς ἔχεις* erklärt, womit die Stellen bei Lehrs Arist.[2] 70 f. zu vergleichen sind. 25 *παρὰ δὲ* A; vorher Nikanor. 28 *δυσέατ'* V. 29 *οὕτως* fehlt A. *δικαιοτέραις* V. *νέονται* A.

Townl. in An. Par. III 288, 29. '*Kaum glaublich; s. den Text*' Lehrs. Der nächste Vers *ἠδ' αὖτις πρὸς δῶμα νεοίατο, θαῦμα ἰδέσθαι* müsste in jenen *εἰκαιότεραι ἐκδόσεις* gefehlt haben. (Dindorfs Vermuthung, dass das Scholion zu Vs. 377 gehöre, und zwar nur zu *πρός*, nimmt weder auf das Lemma Rücksicht noch auf *θεῖον* und *νέοιντο*, ist also wohl schwerlich zu billigen.)

385 *τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ*: *παρὰ Ζηνοδότῳ „ἡμέτερον δέ“ καὶ „Θέτις τανύπεπλος ἱκάνεις“*. A. Vgl. zu Vs. 424. Ψ 137.

400 *τῇσι παρ' εἰνάετες χάλκευον δαίδαλα πολλά*: *Ζηνόδοτος καὶ Ἀριστοφάνης „δαίδαλα πάντα“*. A und A[t].

οὐδέ τις ἄλλος

404 *ᾔδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων*: *οὕτως „ᾔδεεν“· γράφεται δὲ καὶ „ᾔδειν“*. A[t].

407 *πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν*: *μετὰ τοῦ ῑ τὸ „ζωάγρια“ ὁ Ἀρίσταρχος*. A[t]: d. i. *ζῳάγρια*. **μετὰ δὲ τοῦ ῑ, ἐπεὶ καὶ Σιμωνίδης φησὶ* [Simon. Amorg. fr. 13 Bergk] *„τὸ ζωΐων κάκιστον ἔκτηται βίον“ περὶ τοῦ κανθάρου*. V.

424 *τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ*: *παρὰ Ζηνοδότῳ „ἡμέτερον δέ“ καὶ „Θέτις τανύπεπλος ἱκάνεις“*. A. Vgl. zu Vs. 385.

441 *οἴκαδε νοστήσαντα, δόμον Πηλήιον εἴσω*: **ἔν τισιν οὐ κεῖται*. A[t].

444 *κούρην, ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν*: **ἀθετοῦνται στίχοι ιγ'* [444—456]. Ariston.

458 *υἱεῖ ἐμῷ ὠκυμόρῳ δόμεν ἀσπίδα καὶ τρυφάλειαν*: *τὸ „ἐμώκυμόρῳ“ ἔξω τοῦ ῑ· συνεκτέθλιπται γὰρ τῷ ω̄ τὸ ῑ*. A.

---

9 *Ζηνόδοτος „Θέτις τανύπεπλος ἱκάνεις ἡμετερόνδε“*. V. 12 *Ζηνόδοτος δὲ καὶ* A (nicht A[t]); vorher Herodian. *οἱ περὶ Ἀριστοφάνη „δαίδαλα πάντα“*. V. 17 Et. M. 413, 14 *ζῳδίον . . . γράφεται δὲ μετὰ τοῦ ἰῶτα, ἐπειδὴ εὕρηται κατὰ διάστασιν καὶ παρὰ Σιμωνίδῃ, οἷον „τόδ' ἡμῖν ἑρπετὸν παρέπτατο ζώϊον κάκιστον“*. Vgl. Zonaras Lex. p. 967. Lentz Herod. II p. 515, 27—516, 15. 19 *τὸ*] *ὃ* conj. Bekker. *ζῷον κ. κέκτηται* V, corr. Bekker. 27 *ἀνακεφαλαίωσις αὕτη· κακῶς οὖν Ἀρίσταρχος ἀθετεῖ* [*ἀθετεῖ Ἀρίσταρχος* V]. BV. 28 *ἐμωκυμόρω* so A. 29 *ἔξω τοῦ ῑ τὸ „εμώκυμορω“· συνεκτέθλιπται γὰρ τῷ ωι τὸ ῑ*. A[t]; *ἄνευ τοῦ ῑ τὸ ἐμῷ· ἐκτέθλιπται γάρ*. BV (unbegreiflicherweise corr. Dindorf *ἄνευ τοῦ ω̄*); *„ἐμώκυμόρῳ“, ἐμῷ ὠκυμόρῳ· καὶ ἐκθλίβεται τὸ ι τῆς ἐμῷ ἀντω-*

Lehrs gab dies dem Herodian, bemerkte aber nachträglich (p. XI): *Haec nunc haereo an verba Herodiani sint, propter* ἔξω. Lentz war geneigt, dafür ἄνευ aus BV aufzunehmen. Bei Didymos, der die Sache schwerlich mit Stillschweigen über-
5 ging, hat ἔξω τοῦ nichts Auffälliges: er braucht es *Η* 95. 238. *Κ* 129. 445. *Λ* 101. *Ν* 692. *Ξ* 276. 299. 400. 412 u. ö.

466 ὥς οἱ τεύχεα καλὰ παρέσσεται —:
παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει „παρέξομαι“. A[t].

471 παντοίην εὔπρηστον ἀυτμὴν ἐξανιεῖσαι:
10 διὰ τοῦ σ̄ „εὔπρηστον“· τινὲς [δὲ] διὰ τοῦ κ̄ [d. i. εὔπρηκτον], καὶ ἀκούουσι πρὸς πρᾶξιν εὐάρμοστον. A.

477 ῥαιστῆρα κρατερήν, ἑτέρηφι δὲ γέντο πυράγρην:
παρὰ Ζηνοδότῳ „κρατερόν“ διὰ τοῦ ō. A[t].

483 ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν:
15 *Ζηνόδοτος ἠθέτηκεν ἀπὸ τούτου τοῦ στίχου τὰ λοιπά [— 608], ἀρκεσθεὶς τῇ κεφαλαιώδει προεκθέσει. Ariston.

485 ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται:
Ζηνόδοτος „οὐρανὸν ἐστήρικται“· Ἀρίσταρχος „οὐρανὸν ἐστεφάνωκε“. A[t]. Letzteres bezweifle ich mit Wolf Proleg. p. CCXLIII
20 und Spitzner Excurs. XXVIII p. LVIII. Vgl. Einl. S. 113.

489 οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο:
*οὐδὲ Κράτης οὖν ὀρθῶς γράφει „οἶος δ' ἄμμορός ἐστι λοετρῶν“, φεύγων τὰ μὴ φευκτά. Strabo I p. 3. Die Lesart des Krates kann nicht richtig überliefert sein (Thiersch Über das Zeitalter
25 und Vaterland des Hom.[2] S. 52, dem Wachsmuth De Crat. p. 46 gefolgt ist, conjicirte οἴη τ'); leider ist sie bei Apollon. Soph. 29, 14 gleichfalls verdorben: ὁ δὲ Κράτης οὕτως ἀναγινώσκει „ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει“, μέχρι τούτου καταλέγων· „ἡ δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο“, ἵνα τὸ συμ-
30 βεβηκὸς αὐτῇ καὶ [ἐφ'] ἑτέροις τῶν ἄστρων ἀκούηται. *Ex his*

νυμίας διὰ τὸ μηδέποτε γίνεσθαι κρᾶσιν τοῦ ῑ μέσου ὄντος, καὶ λοιπὸν κιρνᾶται τὰ δύο ω̅ω̅ εἰς ω̅, καὶ γίνεται „ἐμώκυμόρῳ“ χωρὶς τοῦ ῑ. Et. M. 337, 4. τὸ δὲ ἐμωκυμόρωι A. ω̅ Bekk., ω̅ι̅ A. 8 οἱ περὶ Ἀριστοφάνη „παρέξομαι“. V. 10 παρὰ τὸ ἔπρεσε [? ἔπρησεν Θ 217]. τινὲς δὲ „ἔκπρηστον“. so V. Ein ganz ähnliches Versehen beging der Schreiber des Vict. zu Ε 695. δὲ fehlt A, bot V. 13 Ζηνόδοτος „κρατερόν“. V. 18 *Utrum Zenodotus* οὐρανόν, *quae Heynii est sententia (VII p. 523), an* οὐρανῷ *scripserit, dubitaveris.* Düntzer Zen. p. 127. Was er dort (s. auch Philol. IX 321) über Aristophanes sagt, ist reine Phantasie. 30 ἐφ' hat Wachsmuth a. a. O. zugefügt.

Tollius in excurs. V ad Apollon. p. 743 sqq., quo totam hanc rem accurate et plene investigavit, Cratetem scripsisse coniicit ἤ τέ κεν, *cui Heynius* [VII p. 527] ἥ τε καὶ *supponit. Si quid video, Crates voluit* ἠδὲ καὶ ἄμμορός ἐστι λ. Ὠκ. *i. e. haec quoque cum aliis eius plagae sideribus non subit Oceani fluenta.* Spitzner. Ich möchte eher glauben, dass Krates nach Vs. 488 eine stärkere Interpunction setzte und dann οἶμος δ' las; darauf scheint Strabo's οἷος δ' zu führen. Doch verkenne ich nicht, auf wie schwachen Füssen auch diese Vermuthung steht.

492 **νύμφας δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων ἠγίνεον ἀνὰ ἄστυ —:**
Ζηνόδοτος „ἐς θαλάμους“· καὶ ἔστιν οὐκ ἀπίθανος ἡ γραφή. A[t].

δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς

499 **ἀνδρὸς ἀποφθιμένου —:**
παρὰ Ζηνοδότῳ „ἀποκταμένου“, καὶ ἐν ταῖς πλείσταις· καὶ ἔστιν οὐκ ἀπίθανος ἡ γραφή. A[r].

501 **ἄμφω δ' ἱέσθην ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι:**
παρὰ Ζηνοδότῳ „ἀρέσθαι“. A[i].

502 **λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον, ἀμφὶς ἀρωγοί:**
παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει „ἀμφοτέρωθεν“· ἡ Μασσαλιωτικὴ „ἀμφοτέρωθεν ἐπίπνυον, ἀμφὶς ἀρωγοί“. A[t]. *In Massiliensi fuisse crediderim* ἀμφοτέροισιν ἐποίπνυον, *i. e. utrique populus studiose adfuit, metaphora a ministeriis aliis factis traducta . . . Heynius* ἐπέπνεον, *i. e. adspirabant,* ἐπίπνυον *dictum fuisse autumat, et forma et augmento repugnante.* Spitzner.

506 **τοῖσιν ἔπειτ' ἤισσον, ἀμοιβηδὶς δὲ δίκαζον:**
*Ἀρίσταρχος „ἀμοιβηδόν“, ὡς κλαγγηδόν, ἀντὶ τοῦ κατὰ τάξιν τῆς ἡλικίας (ὡς καὶ ἡ γερουσία Λακεδαιμονίων). A[t]V. *Ist schwerlich wahr.* Lehrs. Der Vergleich ὡς κλαγγηδόν lehrt, dass die Worte des Scholions nicht von Didymos herrühren. Man denkt dabei zunächst an Herodian: allein mit dem Hauptscholion A, welches Lehrs wohl mit Recht dem Herodian zuwies, scheinen sie im Widerspruch zu stehen; wenigstens erwähnt dieses nur die Lesart ἀμοιβηδίς (τὸ δὲ „ἀμοιβηδίς“ κατ' ὀξεῖαν

---

16 A[r]] aber von erster Hand. 20 Ζηνόδοτος „ἀμφοτέρωθεν“, ἡ Μασσαλιωτικὴ δὲ „ἐπήπυον ἀμφὶς ἀρωγῷ.“ so V. 27 Ἀρίσταρχος A[t], Ἀρίσταρχος δὲ V, αἱ Ἀριστάρχου Bekk. Dind. ὁ δὲ Ἀρίσταρχός φησιν ἀντὶ τοῦ κατὰ τάξιν τῆς ἡλικίας. B. ἀντὶ τοῦ fehlt A[t]. 28 τῆς ἡλικίας αἱ Ἀριστάρχου A[t]. ὡς καὶ κτέ. fehlt A[t].

τάσιν· εἴρηται δὲ περὶ τῶν εἰς δις ληγόντων ἐπιρρημάτων). Demnach bleibt die Angabe Ἀρίσταρχος „ἀμοιβηδόν" verdächtig: s. Einl. S. 113. Die Erklärung κατὰ τάξιν κτέ., die sicher Aristarchisch ist (vgl. Ariston. N 793), passt jedenfalls auch
5 zu ἀμοιβηδίς.

521 ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν: †„βοτοῖσι" δὲ γραπτέον, ὅθεν καὶ βοτῆρες καὶ βοτάνη. BV. Von einer abweichenden Lesart (βόεσσιν?) ist nichts bekannt.

οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες
10 526 τερπόμενοι σύριγξι —:
Ἀριστοφάνης δυϊκῶς „τερπομένω". A[t].

528 τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλά: παρὰ Ζηνοδότῳ „πῶυ μέγ' οἰῶν". A[t].

537 ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν:
15 Ἀρίσταρχος „τεθνηῶτα". A[t].

538 εἶμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν: ἐν τῇ Μασσαλιωτικῇ „εἷμά τ' ἔχε". A[t].

540 νεκρούς τ' ἀλλήλων ἔρυον κατατεθνειῶτας: Ἀρίσταρχος διὰ τοῦ η. A[t]: d. i. κατατεθνηῶτας.

20 549 χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμα τέτυκτο: οὕτως Ἀρίσταρχος „τέτυκτο" Ἰακῶς. A[t]. Andere θαῦμ' ἐτέτυκτο.

551 ἤμων ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες: †ἐν δέ τισιν ἐγράφετο μετὰ τὸν ἤμων ὀξείας δρεπάνας „καρπὸν Ἐλευσινίης Δημήτερος ἀγλαοδώρου". V zu Vs. 483.
25 (διό τινες ἐνταῦθα μετὰ τὸ ἤμων ὀξ. δρ. ἐν χ. ἔ. προσγράφουσι στίχον τοῦτον „καρπὸν" κτέ. Eust. 1156, 58.)

557 σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ: ἔξω τοῦ ι „ἑστήκει" αἱ Ἀριστάρχου. A[t]. Andere εἱστήκει: s. zu Δ 329.

30 563 ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν: Ζηνόδοτος „ἀργυρέοισιν". A[t].

565 κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτήν: „ἐς αὐτήν" παρὰ Ζηνοδότῳ· καὶ ἔχει λόγον ἡ γραφή. A[t].

---

7 βοτοῖσι B, βολοῖσι V. 11 τερπομ A[t]. 13 πῶυι A[t]. 15 τεθνηιῶ A[t]. 17 εἵμα τ' A[t], εἷματ' La Roche, unbekümmert um δαφοινεὸν und das Asyndeton. 18 κατατεθνειῶτας (η über ει) A im Text. 28 Ἀρίσταρχος „ἑστήκει". A[t] rechts vom Text, zwischen diesem und den Randscholien. (Das obige Scholion steht auf dem inneren Rande, links vom Text.) 33 ἐς αυτην [so] erst später zugefügt A[t].

568 πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν: Ἀρίσταρχος „ταλάροισι" καὶ „πλεκτοῖσι". A[t]. Spitzner: πλεκτοῖσιν ταλ. *Aristarchus, ut videtur.* (Vgl. zu Θ 337.) Daneben wird durch das Scholion wohl auch ταλάροισι φέρον als Aristarchisch bezeugt, während Andere ταλάροις ἔφερον schrieben. 5
*„μελιηδέα καρπόν"· οὕτως αἱ Ἀριστάρχου. V. *Pertinet fortasse ad interaspirationem.* Lehrs. Wahrscheinlicher ist mir, dass μελιηδέα καρπόν falsches oder übel verkürztes Lemma ist für πλεκτοῖσιν ταλάροισι φ. μ. κ. (Einl. S. 136 f.)

570 ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδε: 10
*παρὰ Ζηνοδότῳ „λίνος δ' ὑπὸ καλὸν ἄειδε". Ariston.

576 πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα: παρὰ Ζηνοδότῳ „διὰ ῥαδαλόν"· ὁ δὲ Ἀριστοφάνης „παρὰ ῥαδινόν". ῥαδαλὸν δὲ ἀκουστέον τὸν εὐκράδαντον δι' ὕψος. φησὶ δὲ Διονύσιος γράφεσθαι καὶ „δονακῆεν" κατὰ τὸ οὐδέτερον, ὡς καὶ τὸν πευκῶνα πευκᾶεν. A. Zenodot las also sicher διὰ ῥαδαλὸν δ. (vgl. Et. M. und das längere Schol. V) im Sinne von κραδαλόν d. i. εὐκράδαντον, εὐκίνητον (vgl. Schol. N 458 δοάσσατο: τοῦ δοκῶ παραγωγόν ἐστι, δοκῶ δοκήσω δοκάσω, ἐδοκάσσατο δοκάσσατο, ἀποβολῇ τοῦ κ̄ δοάσσατο. BL. 20 ὡς „ῥάδαλον δονακῆα" ἀντὶ τοῦ κράδαλον, εὐκράδαντον. V. τὸ δὲ δοάσσατο ἀποβολὴν ἔπαθε τοῦ κ̄ ἐκ τοῦ δοκῶ δοκάζω, καθὰ καὶ ῥοδαλὸν ἐρεῖ που ποταμὸν δονακῆα, ἤτοι κραδαλόν, ὅ ἐστιν εὐκράδαντον διὰ τοὺς ἐκεῖ δόνακας. καὶ αὐτόθι γὰρ κατά τινας τὸ κ̄ ἐκλέλοιπε. Eust. 942, 1). Weniger gewiss ist, 25 dass Aristophanes und, wie ich vermuthe, auch Aristarch παρὰ

11 λινὸς δ' ὑπο A. 13 ῥοδανόν: τὸν ῥᾳδίως ἀναφύοντα, ἢ τὸν εὐκίνητον διὰ λεπτότητα· καὶ ῥοδανίζειν γὰρ αἱ γυναῖκές φασι τὸ συνεχῶς τὴν κρόκην τινάσσειν. οἱ δὲ „ῥοανόν" ἤτοι ῥευστικόν, κατὰ πλεονασμόν. οἱ δὲ τὸν ἰσχνοκαλαμώδη. Ζηνόδοτος δὲ γράφει „ῥαδαλόν" [κραδαλόν ἀντὶ τοῦ B] εὐκίνητον, οἱονεὶ κραδανόν τινα ὄντα, παρὰ τὸ κραδαίνεσθαι. BV; Ζηνόδοτος „ῥοδανόν", τὸν εὐκράδαντον διὰ τὸ ὕψος. V Townl. in An. Par. III 290, 4; „ῥαδαλὸν δονακῆα" Ἰλιάδος Σ. οὕτω Ζηνόδοτος· Ἀρίσταρχος δὲ „ῥαδηλόν". „ῥαδαλόν" δὲ ἀκουστέον τὸ εὐκράδαντον καὶ εὐδιάσειστον διὰ τὸ ὕψος. γράφεται δὲ καὶ „παρὰ Ῥοδανόν"· ἔστι δὲ ποταμός. Et. M. 701, 52; ῥαδανίζειν, τὸ τινάσσεσθαι καὶ κινεῖσθαι, τὸ παρὰ ταῖς γυναιξὶ λεγόμενον, ὡς Ἡρακλέων ἐν ὑπομνήματι Σ Ἰλιάδος. Ὧρος. Et. M. 702, 9. Vgl. auch Eust. 1165, 19 ff. 17 *Illa Zenodoti scriptura fuit* [ῥαδαλόν], *cui nunc* ῥοδανόν *substitutum est; alterum* κραδανόν, *quod Buttmannus Aristophani tribuebat, omnino non legitur.* Lobeck Pathol. elem. I 106. 21 *Eustathius rectius* κραδαλός, *v. Prolegg. 104.* Lobeck das.

ῥαδινὸν δονακῆα lasen. Im Scholion A ist überliefert Ἀριστοφάνης παρα ραδηλὸν [so], im Et. M. Ἀρίσταρχος δὲ ῥαδηλόν: ursprünglich scheint also bei Didymos gestanden zu haben ὁ δὲ Ἀριστοφάνης καὶ Ἀρίσταρχος „παρὰ ῥαδινόν". Vgl. 5 Apoll. Soph. 138, 10 ῥαδινόν: λεπτόν, οἱονεὶ ῥαδονόν, παρὰ τὸ ῥᾳδίως δονεῖσθαι (die beiden anderen Lesarten ῥαδαλόν und ῥοδανόν berücksichtigt er nicht). Hesych. s. v. ῥαδανόν: ῥαδινόν, ἀπὸ τοῦ ῥᾳδίως δονεῖσθαι, und ῥαδινόν: λεπτόν, ἰσχνόν, εὐκίνητον, ἁπαλόν, εὐδιάσειστον.

10 579 σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτοισι βόεσσι ταῦρον ἐρύγμηλον ἐχέτην —:
ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου „δύο πρώτῃσι βόεσσι". παρὰ δὲ Ζηνοδότῳ „κυανέω δὲ λέοντε". A.

ὁ δὲ μακρὰ μεμυκὼς
15 581 ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον ἠδ' αἰζηοί:
παρὰ Ζηνοδότῳ „τοὺς δὲ κύνες μετεκίαθον", τοὺς λέοντας. τὸ δὲ „ἕλκετο" χωρὶς τοῦ ι [näml. γράφει Ἀρίσταρχος]. A. Andere εἵλκετο: s. zu *P* 395. *Merkel praef. ad Apoll. Rhod. p. CVIII irrt sehr, wenn er das Schol. z. St. so deutet: 'ἕλκετο Zenodotea* 20 *habuisse fertur'*. Schmidt Philol. IX 427.

584 αὔτως ἐνδίεσαν ταχέας κύνας ὀτρύνοντες:
*Ζηνόδοτος γράφει „οὕτως". Ariston.

591 τῷ ἴκελον οἷόν ποτ' ἐνὶ Κνωσῷ εὐρείῃ —:
s. zu *B* 646.

25 592 Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ:
παρὰ Ζηνοδότῳ „Ἀριήδνῃ". A[t]. Vgl. zu ο 244.

597 καί ῥ' αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ μαχαίρας εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων:
*ἀθετοῦνται οἱ δύο. Ariston. οὗτοι δὲ οὐδὲ παρὰ Ἀριστο-

1 Ἀριστοφάνης παρὰ ῥαδαλόν die Herausgeber stillschweigend. 2 ῥαδηλόν, *quod, quippe cum metri legibus pugnans, ab Aristarcho commendari non potuit, in* ῥαδινόν *mutari iubet vir doctus* [Georg. Arnaldus] *in Miscell. observ. vol. IV p. 448.* Schleusner bei Gaisford. Anders Heyne VII p. 556: *Lectionem* ῥοδανόν, *probatam ut suspicari licet Aristarcho, parum sagaciter.* Dieser Vermuthung fehlt es an jeglicher Stütze. 12 „δύο πρωτῃσι" ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου. A[t]. *Aristarchus, si quid diversi praebuit,* δύω πρ. β. *adscivisse videtur.* Spitzner. Eine ganz unnütze Conjectur. 13 Ζηνόδοτος „κυάνεοι δὲ λέοντες". V Townl. in An. Par. III 290, 5. κυάνεον A, corr. Vill. 26 Ζηνόδοτος ἀρπήδῃ. so V. 29 οὗτοι A.

φάνει ἦσαν. A. *An* παρὰ Ἀρ. οὐδὲ ἦσαν? *Fortasse tamen excidit aliquid post* οὗτοι δέ. Friedländer. Das letztere glaube ich kaum: s. zu *I* 688 und Einl. § 15. — Was Nauck Aristoph. p. 27 vermuthet, dass die Verse auch dem Zenodot unbekannt gewesen seien, lässt sich nicht genügend begründen. 5

πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος
604 τερπόμενοι· [μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
φορμίζων·] δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
μολπῆς ἐξάρχοντος ἐδίνευον κατὰ μέσσους:

† ὁ δ' Ἀρίσταρχος . . . τοῦ Κρητικοῦ χοροῦ τὸν ᾠδὸν ἐξεῖλεν, 10
ἐπιτεμὼν τὰ ποιήματα τὸν τρόπον τοῦτον

„πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος
τερπόμενος· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους",

ὥστ' ἀνίατον γίνεσθαι παντάπασι τὸ „ἐξάρχοντες", μηκέτι δυ- 15
ναμένης τῆς ἐπὶ τὸν ᾠδὸν ἀναφορᾶς σώζεσθαι. Athen. V 181[c].
Aus der Bemerkung des Aristonikos zu Vs. 604 geht jedenfalls hervor, dass Aristarch nicht τερπόμενος, sondern τερπόμενοι las. Ob der Vers μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς φορμίζων, den keine unserer Homerhandschriften kennt und den 20
erst Wolf im Vertrauen auf die Autorität des Athenäos eingebürgert hat (Proleg. p. CCLXIII. praef. Il. a. 1804 p. LXXXVII), echt oder aus *δ* 17 interpolirt ist, steht dahin; dass erst Aristarch ihn entfernt haben sollte, halte ich bei dem verschwindend geringen Einfluss, den seine Athetesen auf die späteren 25
Homertexte ausübten, für ganz unwahrscheinlich: s. Einl. S. 73 f. Übergeht doch sogar Athenäos selber kurz zuvor (p. 181[a]) diesen Vers mit Stillschweigen (Lehrs Arist.[2] 141). Den Ausschlag aber giebt folgende Erwägung. Wenn Aristarch wirklich, wie des Athenäos Meinung zu sein scheint, den urkundlich gut be- 30
glaubigten Vers verwarf (ein besserer Berichterstatter würde gesagt haben: athetirte), so könnte der innere Grund davon nur in der Bedeutung von μέλπεσθαι (= singen) gesucht werden — s. Friedländer Ariston. p. 53 und Lehrs Arist.[2] p. 138 —: und hierauf weist uns wohl auch die Wendung bei Athenäos 35
τοῦ Κρητικοῦ χοροῦ τὸν ᾠδὸν ἐξεῖλεν. Wie kann nun aber

---

20 Auch Dionys. Hal. Arch. Rom. VII c. 72 p. 1490 R. weiss von dem Verse nichts.

Aristarch den Vers hier (Σ 604) als dem Homerischen Sprachgebrauch zuwider gestrichen, hingegen δ 17 als eigene Interpolation, wie doch derselbe Athenäos uns glauben machen will (*ὁ δ' Ἀρίσταρχος οὐ μόνον εἰς τὸ τοῦ Μενελάου συμπόσιον ἐμβαλὼν οὓς οὐ προσῆκε στίχους κτέ.* p. 181[c]), eingeschoben haben? Verstösst er dort nicht ganz ebenso gegen die Aristarchische Beobachtung über die Bedeutung von *μέλπεσθαι*? Wenn Athenäos aber bezüglich der 'Aristarchischen Interpolation' δ 15—19 uns ein Märchen aufgebunden hat, wie jeder besonnene Beurtheiler zugeben muss, so weiss ich nicht, mit welchen Gründen man seine ebendaselbst über Σ 604 gemachte Mittheilung retten will. Soviel ich sehe, stehen oder fallen beide miteinander. In Wirklichkeit wird Aristarch den Vers Σ 604 nicht aus der bisherigen Vulgata entfernt, sondern vielmehr nur deswegen von seinem Text ferngehalten haben, weil ihn schon zu seiner Zeit die bessere Überlieferung überhaupt nicht kannte. Über die thörichte Behauptung des Athenäos *τὸ γὰρ ἐξάρχειν τῆς φόρμιγγος ἴδιον* (p. 180[d]) s. Casaubonus z. St. Vgl. noch zu δ 15.

Nicht ganz sicher ist, ob die folgende Bemerkung des Athenäos (p. 180[e]) auch hierher oder nur zu δ 18 oder, wie ich annehme, zu beiden Stellen gehört: †*Διόδωρος δ' ὁ Ἀριστοφάνειος ὅλον τὸν γάμον περιέγραψε, τοπάζων πρώτας ἡμέρας εἶναι, καὶ τὸ λῆγον αὐτῶν ἔτι δὲ καὶ τὸ ἕωλον τῆς συμποσίας οὐκ ἐπιλογιζόμενος. ἔπειτα κελεύει γράφειν „δοιὼ δὲ κυβιστητῆρε καθ' αὐτούς“ ἐν τῷ δασεῖ γράμματι, σολοικίζειν ἀναγκάζων.* Nach dem Wortlaut denkt man zunächst an die Odysseestelle (s. Heyne VII p. 569); dagegen behauptete Schweighäuser Animadvers. in Athen. tom. III p. 36,

---

1 Gegen Friedländer's Behauptung '*μέλπειν apud Homerum non est cantare, sed ludere, maxime saltare: hoc certe statuit Aristarchus*', die selbst Lehrs als richtig anerkannte, hat Römer in den Blättern f. d. bayer. Gymn. XII S. 13 ff. Einwendungen erhoben, welche zwar die Berechtigung dieser Interpretation von *μέλπειν*, aber nicht ihren Aristarchischen Ursprung in Frage zu stellen geeignet sind. In dem Scholion des Aristonikos δ 19 kömmen die Worte *πρὸς τὸ „μέλποντες Ἑκάεργον“* [Α 474] nur auf die hier nach Aristarch's Ansicht unhomerische Bedeutung von *μέλπειν* bezogen werden: folglich muss Aristarch diese Bedeutung für den ganzen Homer geleugnet haben. Auf das Missliche dieser Auffassung hat bereits Lehrs aufmerksam gemacht.

diese könnte nicht gemeint sein, weil Diodoros sie athetirte; folglich bezöge sich die Conjectur καθ' αὐτούς lediglich auf die Iliasstelle. Allein diese Schlussfolgerung ist eine ganz irrige, weil häufig genug innerhalb athetirter Stellen abweichende Lesarten des Athetirenden erwähnt werden: so *Α* 5. 47. 374. 400. *Β* 690. *Γ* 352. 434. 436. *Δ* 117. *Ε* 64 u. ö. Dass übrigens Didymos von dem Einfall des Diodoros Notiz genommen haben sollte, glaube ich nicht: s. Einl. S. 70.

ΙΛΙΑΔΟΣ Τ.

14 *Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος —*: *Ζηνόδοτος γράφει „ἕλεν φόβος". Aristonikos; s. dens. zu Vs. 15 und *Σ* 247.

ἐν δέ οἱ ὄσσε

17 *δεινὸν ὑπὸ βλεφάρων ὡς εἰ σέλας ἐξεφάανθεν*: οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ „ἐξεφαάνθη". A[t]. Vgl. zu *Α* 531.

18 *τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα*: *τινὲς δὲ γράφουσι „τέρπετο δ' ὀφθαλμοῖσιν ὁρῶν". V.

24 *δείδω, μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν —*: †τινὲς „ἀγλαὸν υἱόν", ἵνα ἁρμόζῃ τῇ αἰκίᾳ ἡ ὑπόμνησις τοῦ κάλλους. V.

26 *εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν*: *ἐν τοῖς Ζηνοδότου „ἐγγείνωνται" [lies ἐγγίνωνται] διὰ τοῦ ῑ γέγραπται· δεῖ δὲ σὺν τῷ ε̄. Ariston.

27 *ἐκ δ' αἰὼν πέφαται, κατὰ δὲ χρόα πάντα σαπήῃ*: οὕτως Ἀρίσταρχος διὰ τοῦ η̄ „σαπήῃ". A[t]. Andere σαπείῃ. Vgl. zu *Γ* 436. *Ζ* 432. *Χ* 73.

30 *τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα*: παρὰ Ἀριστοφάνει „ἀλαλκέμεν". A[t]V. Vgl. Lobeck Rhem. p. 165.

39 *στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη*: †τινὲς τῶν βυρσῶν. μετὰ δὲ τὸ „ἔμπεδος εἴη" γράφουσιν [„ἡ μὲν ἄρ' ὣς ἔρξασ' ἀπέβη Θέτις ἀργυρόπεζα"]. V. Den eingeklammerten Vers habe ich zugefügt; er steht an dieser Homerstelle in einigen Handschriften.

---

11 ἕλεν] ἔλεο A. 15 ἐξεφαάνθη A[t]. 22 τοῖς] ταῖς conj. La Roche, verfehlt: s. Einl. S. 5. 28 παρα ἀριστοφάνους so A[t], Ἀριστοφάνης V. 31 γράφουσιν] γρ' V, wie gewöhnlich.

41 *σμερδαλέα ἰάχων, ὦρσεν δ' ἥρωας Ἀχαιούς*: παρὰ Ἀριστοφάνει καὶ Ῥιανῷ „ἐρίηρας“. A[t].
56 *Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον*: ἐν τῇ Χίᾳ „ὄνειαρ“ ἐγέγραπτο, ἐν τῇ Μασσαλιωτικῇ „ἄμει-
5 νον“. A.
62 *δυσμενέων ὑπὸ χερσίν, ἐμεῦ ἀπομηνίσαντος*: *Χαμαιλέων δὲ γράφει „ἐπιμηνίσαντος“. V. Vgl. Schol. B.
70 *ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίον ἐλθών*: οὕτως Ἀρίσταρχος διὰ τοῦ ν „ἀντίον“. A[t]. Vgl. S. 174.
10 75 *μῆνιν ἀπειπόντος μεγαθύμου Πηλείωνος*: Ἀρίσταρχος ἔξω τοῦ ο „ἀπειπόντος“, καὶ αἱ πλείους. A[t]. *Scilicet* ἀποειπόντος *esse debebat . . . et facile versus sic constitui poterat* μῆνιν ἀποειπόντος ἀγανοῦ Πηλ. Heyne VII p. 610.
76 *τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων*
15 *αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστάς*: οὕτως καὶ παρὰ Ἀριστοφάνει, ἐν δὲ τῇ Μασσαλιωτικῇ καὶ Χίᾳ
„τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων,
μῆνιν ἀναστενάχων καὶ ὑφ' ἕλκεος ἄλγεα πάσχων“.
(οὕτως ὁ Δίδυμος.) AV. *Ζηνόδοτος τοῦτον μὲν [77] οὐκ
20 ἔγραφε, τὸν δὲ πρὸ αὐτοῦ μόνον οὕτως „τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων“. Ariston. Aristarch hatte sich an Aristophanes angeschlossen, wie οὕτως καὶ zu verstehen giebt.
79 *ἑσταότος μὲν καλὸν ἀκούειν, οὐδὲ ἔοικεν —*: †τινὲς „ἑσταότως“, ἀντὶ τοῦ εὐσταθῶς, ἡσύχως, ἀρκούντως,
25 ἐθελόντως. BV.
οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ „ἀκουέμεν“. A[t].
80 *ὑββάλλειν· χαλεπὸν γὰρ ἐπιστάμενόν περ ἐόντα*: Ἀρίσταρχος „ἐπισταμένῳ περ ἐόντι“. A[t]. (*ὑββάλλειν*: ἐν τῇ Τ τῆς [Ἰλιάδος] ῥαψῳδίᾳ „ἑσταότος γὰρ . . . χαλεπὸν γὰρ ἐπι-
30 στάμενόν περ ἐόντα“. εἰρηκότος γὰρ τοῦ ποιητοῦ περὶ τοῦ Ἀγαμέμνονος „αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστάς“,

2 παρα A, nicht παρ'. 4 ἐν δὲ τῇ Χίᾳ A; vorher Herodian. 14 μετέει (π übergeschr.) ἄναξ ἀνδρ (ω übergeschr.) A. 15 αὐτο (θ übergeschr.) ἐξ ἕδρης ὅδ' ἐν μέσσοισι ἀν. A. 16 τοῦτο ἀγνοήσας Ἀρίσταρχος, καὶ οἰηθεὶς παραίτησίν τινα ἐκ τοῦ Ἀγαμέμνονος γίνεσθαι, παρενέθηκε τὸν „αὐτόθι ἐξ ἕδρης“ . . . οὕτως ὁ Κοτυαεύς. A. παρὰ AV, nicht παρ'. καὶ Χίᾳ fehlt V. 18 πάσχον [ω übergeschr. von anderer Hand] αὐτόθεν ἐξ ἕδρης V (wo οὕτως ὁ Δίδ. fehlt). Nauck's Conjectur πέσσων st. πάσχων (Aristoph. p. 42) ist unnöthig. 24 ἑσταότος V, ebenso im Lemma. 29 τῆς Ἰλιάδος ῥαψῳδίᾳ Vill., τῆς ῥαψῳδίας Cod. 31 μέσσοισιν Cod.

ὁ μὲν Ἀρίσταρχος ἀκούει κυρίως καθήμενον καὶ μὴ ἀνιστάμενον μηδὲ προεληλυθότα, οἱ δὲ περὶ τὸν Σιδώνιον ἑστῶτα μὲν λέγουσι τὸν Ἀγαμέμνονα παρὰ τῇ καθέδρᾳ, οὐδ' ἐν μέσοις ἑστῶτα. καὶ κατὰ μὲν Ἀρίσταρχον ἡ διάνοια ταύτη [? αὕτη]· ἑστῶτος μὲν καλόν ἐστιν ἀκούειν, οὐδὲ ἔοικεν ὑββάλλειν ἑτέρῳ· 5 χαλεπὸν γὰρ τοῦτο καὶ τῷ ἐπιστήμονι λόγων· „ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσειεν" τοῦ ἑτέρου ὑββαλλομένου; ὥστε τὸ ὑββάλλειν ἀντὶ τοῦ ὑποβάλλειν. οἱ δὲ περὶ τὸν Σιδώνιον ἐκ τοῦ ὑββάλλειν τὸ ὑποκρούειν ἀκούουσιν. ἡ δὲ διάνοια οὕτως· ἑστῶτος μὲν καλὸν ἀκούειν, οὐδὲ ἐοικός ἐστιν 10 ὑποκρούειν τὸν λέγοντα· χαλεπὸν γάρ ἐστι καὶ τῷ ἐπιστήμονι λόγων ὑποκρουομένῳ διὰ τὸν θόρυβον λέγειν. ἀνδρῶν γὰρ ἐν ὁμάδῳ πολλῷ πῶς ἄν τις ἀκούσειεν ἢ εἴποι, ὑποκρουόμενος ὑπὸ τῶν θορυβούντων; καί φησιν ὁ Σιδώνιος ὅτι τῷ ὑββάλλειν ὅμοιόν ἐστι τοῦτο „τὸν δ' ἄρ' ὑποβλήδην ἠμείβετο" [*A* 292]. 15 Apoll. Soph. 156, 23.)

81 ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής:
*ὁ Ἀρίσταρχος ἐλλείπειν φησὶ τὸ οὕτως χρώμενος· τὸ γὰρ λεγόμενον τοιοῦτον εἶναι, ἐν δὲ πολλῶν ἀνδρῶν ὁμίλῳ πῶς ἄν τις 20 οὕτως χρώμενος ἢ εἴποι ἢ πῶς οἱ ἀκούοντες ἀκούσειαν; (οὕτως Δίδυμος.) A. Für χρώμενος conjicirt Lehrs τετρωμένος, was mir zu den Worten ἢ πῶς οἱ ἀκούοντες ἀκούσειαν nicht recht zu passen scheint. Ich vermuthe, dass οὕτως χρώμενος an beiden Stellen aus τούτῳ χρώμενος verdorben ist: τούτῳ, näm- 25 lich τῷ ὑποβάλλοντι (vgl. Porphyr. p. 234, 5 Schr.); denn dass Aristarch das Verbum ὑββάλλειν wirklich in diesem Sinne nahm, unterliegt, obwohl sein Name bei Apollon. Soph. verunstaltet ist, doch nicht dem geringsten Zweifel: s. Aristonikos zu Vs. 80. Eust. 1171, 60. (Hermann's und Böckh's Äusserungen 30 über diese Stelle sind bekannt.) — Schmidt Did. p. 181 hat dieses Scholion (λέξεις Ἀριστάρχου) unter die Fragmente der ὑπομνήματα des Didymos gesetzt, vielleicht mit Recht: s. Einl. § 16.

---

1 Ἀρίσταρχος Lehrs, Ἀρχίας Cod. (s. Schrader Porphyr. p. 233). καὶ μὴ Bekk., καὶ μηδ' Cod. 2 προεληλυθότα Lehrs, προσεληλυθότα Cod. 4 Ἀρίσταρχον Lehrs, Ἀρχίαν Cod. διὸ ἐπιφέρει ὑποτιμώμενος, καλὸν μέν ἐστιν ἑστῶτα δημηγορεῖν, ὡς δηλονότι καθήμενος. Ariston. *T* 77. 7 ἀκούσαι *T* 81. 10 ἐοικώς Cod., corr. Vill. 15 ἄρ Cod.

πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον,

86 καί τέ με νεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι:
παρὰ Ἀριστοφάνει καὶ [ἐν] τῇ Χίᾳ „νεικείουσιν". A[t].

87 ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐρινύς:
5 †τινὲς τὸ η̄ ἄρθρον ἐδέξαντο, ἵν' ᾖ „ἡ ἐροφοῖτις", παρὰ τὴν ἔραν, ἡ ἐν τῇ γῇ φοιτῶσα ἢ οἷον ἐρεβοφοῖτις. ἄμεινον δὲ γράφειν „ἠεροφοῖτις", ὅ ἐστιν ἡ ἐξ ἀφανοῦς φοιτῶσα. οὕτως Ἡρωδιανός. B. Ähnlich V Townl. (Heyne VII p. 619), wo aber vor ἄμεινον δὲ noch eingeschaltet ist: ἔνιοι δὲ „ἰροπῶτις"
10 παρὰ τὸ Αἰσχύλειον [hier Lücke V] παρὰ τὸ εἰς ἔριν νεύειν. οἱ δὲ „εἰαροπῶτις", ἐγκειμένου τοῦ εἶαρ, ὅπερ ἐστὶ κατὰ Σαλαμινίους αἷμα. *Conferendum hoc scholion cum Etym. M. p. 421, 54.* Hermann Aeschyl. fr. 396.

90 ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ:
15 ἔξω τοῦ ν̄ αἱ Ἀριστάρχου „ἀλλὰ τί κε ῥέξαιμι". γράφεται δὲ κατ' ἔνια „θεοὺς διὰ πάντα τελευτᾷ", διὰ τοὺς θεοὺς τέλος πάντα λαμβάνει. ἐν δέ τισι „θεοὺς διὰ πάντα τέτυκται". A. Vgl. zu ι 145.

92 οὐλομένη· τῇ μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ'
20 οὔδει —:
οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ „τῆς μέν θ' ἁπαλοί". A[t].

94 βλάπτουσ' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γε πέδησε:
*ἀθετεῖται. Ariston.

---

3 παρα A[t], nicht παρ'. ἐν fügte Kayser zu, Philol. XXI 328. νεικίουσιν A[t]. 9 ἰαροπῶτις conj. Heyne. 10 παρὰ τὸ εἰς ἔριν νεύειν fehlt Townl. (?) 11 τοῦ εἶαρ] τοῦ ἔ. εἶαρ conj. Heyne. 17 τινὲς γράφουσι „θεὸς δια [so] πάντα τέτυκται". V. Ἑλλάνικος δὲ „θεόσδια" τὰ θεόσδοτα γράφει καὶ θεούς, ἵνα λείπει [-πῃ Bekk.] ἡ διά. V (was auf γράφει folgt, verstehe ich nicht; vielleicht stand ursprünglich γράφει. γράφεται δὲ καὶ „θεούς", ἵνα μὴ παρέλκῃ ἡ διά); οἱ δὲ παλαιοί φασιν ὅτι Ἑλλάνικος ὑφ' ἓν ἀνεγίνωσκε „θεόσδια", οὕτω λέγων τὰ θεόσδοτα, καὶ νοῶν ὅτι τὰ θεόσδοτα πάντα τελειοῦται καὶ οὐ διαπίπτουσιν, ἢ μᾶλλον, ὅτι τελειοῖ τὰ ἐκ θεοῦ ἡ εὐθὺς ἐπαγομένη Διὸς θυγάτηρ Ἄτη, ἣν προεκαλέσατο ἀνωτέρω ῥηθὲν τὸ „ἄγριον ἄτην" [Vs. 88]. Eust. 1173, 24; Λεσβοκλῆς δὲ διαιρεῖ [εἰς] τὸν δή σύνδεσμον καὶ τὸ ἴα ὄνομα [d. i. θεὸς δὴ ἴα; Heyne conj. δ' ἴα, richtig?], ἵν' ᾖ μία δὴ θεὸς ἡ Ἄτη τὸ πάντων ἔχει τέλος. B; ὁ μὲν Ἀσκαλωνίτης περισσὴν ἡγεῖται τὴν διά πρόθεσιν εἶναι. τὸ γὰρ ἑξῆς, θεὸς πάντα τελευτᾷ. Δίδυμος δὲ ἡγεῖτο σημαντικὴν αὐτὴν εἶναι τοῦ διόλου καὶ μὴ παρέλκειν, ὥσπερ ἐπὶ τοῦ διηλίτης ὁ δι' ὅλου ἁμαρτάνων. οὐ προσεκτέον δὲ τοῖς ὑφ' ἓν ἀνεγνωκόσιν. Herodian. 21 Ἀριστοφάνης [so!]

95 *καὶ γὰρ δή νύ ποτε Ζεὺς ἄσατο, τόν περ ἄριστον* —: *οὕτως ἐν ἁπάσαις „Ζεὺς ἄσατο“, καὶ ἔστι ποιητικώτερον· ἐν δέ τισι τῶν εἰκαιοτέρων „Ζῆν' ἄσατο“.* AV. *Ἀρίσταρχος „Ζεὺς ἄσατο“.* A[t]. Vgl. Lehrs Arist.[2] 24 f.

96 *ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν* 5
Ἥρη θῆλυς ἐοῦσα δολοφροσύνῃς ἀπάτησεν:
παρὰ Ἀριστοφάνει „ἀλλά νυ καὶ τόν“. ἐν δὲ τῇ Χίᾳ „φαμὲν ἔμμεναι“, ἠθικῶς. A.

105 *τῶν ἀνδρῶν γενεῆς, οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰσί*: *παρὰ Ἀριστοφάνει ἔξω τοῦ θ „οἳ αἵματος“.* A[t]. **πρὸς ἐνίων* 10 *καὶ τὸ „οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰσί“ διὰ τοῦ ο ἐγράφετο* [d. i. *ἐμοῦ*], *ἵνα μὴ δόξῃ τὸ αἵματος πλεονάζειν.* Apollon. Pron. p. 108, 1 Schn. *Sed ἐμεῦ recte habet, constr. 164, 21.* Friedländer.

117 *ἡ δ' ἐκύει φίλον υἱόν, ὁ δ' ἕβδομος ἑστήκει μείς*: 15 *ἐν τῇ Χίᾳ „μής“.* A[t].

124 *σὸν γένος· οὗ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν*: *κατ' ἐνίας τῶν ἐκδόσεων „ἀνθρώποισιν“.* A[t].

137 *ἀλλ' ἐπεὶ ἀασάμην καί μευ φρένας ἐξέλετο Ζεύς*: †*κατὰ τὴν παράδοσιν τῶν παλαιῶν μετὰ τὸν στίχον τοῦ „ἐπεὶ* 20 *ἀασάμην“ προηνέγκατο Διοσκουρίδης ὁ Ἰσοκράτους μαθητὴς καὶ ἕτερον στίχον τοῦτον „ἢ οἴνῳ μεθύων, ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί“.* Eust. 1176, 11. Ist aller Wahrscheinlichkeit nach aus Athen. I p. 11[a] abgeschrieben, der es aber nur von *I* 119 behauptet.

„τῇ μέν“. ἢ κατὰ ἀντίπτωσιν. V Townl. in An. Par. III 290, 9. 1 *δήν ὕπο τε ζεύς ασατο* A (im Text *δήν ὕπο τε ζῆν' ἄσατο*). *ζῆν'* V. 2 *οὕτως* und *καὶ ἔστι ποιητ.* fehlt V. *ἐν δὲ ταῖς δικαιοτέραις* so V. 3 *ἄσατο*] *ἀντὶ τοῦ ἔβλαψεν* fügt V zu. 12 *ἵνα* Friedländer Ariston. p. 294, *εἰ* Cod. 16 *ἐν τῇ*] *εν̓* A[t]. 18 *κατένια* A[t], corr. Bekk. In der Handschrift ist nicht selten *σ* irrthümlich ausgelassen: Dind. I p. 92, 10 *εσωφρόνισται* st. *σεσ.* 99, 6 *εὐθὺ* st. *εὐθὺς.* 20 *ἀχαλάαν* st. *ἀσχ.* 102, 20 *τῆ* st. *τῆς.* 113, 18 *τινὰ . . . ληψύμενον* st. *τινὰς . . . ληψομένους.* 123, 6 *μεταστησας* st. *μεστὰς οὔσας.* 133, 2 *καθὰ* st. *καθ' ἅς.* 4 *αὐτὰ* st. *-τὰς.* 163, 9 *τί* st. *τῆς.* 165, 27 *ἀπηρτημένου* st. *ἀπηρτισμένου.* 171, 16 *ἀκάδας ἀκάδα* st. *Σακάδας Σακάδα.* 269, 29 *πᾶσαν* st. *σπάσει.* 302, 24 *τέλου* st. *τέλους.* 322, 22 *πυθῆναι* st. *πυσθ.* 331, 7 *αὐτοῖς* st. *αὐτῇ.* 348, 11 *ἀπανθίζει* st. *-ζεις.* 389, 5 *πηχυ* st. *πῆχυς.* 401, 3 *τοσαῦτα* st. *τοσαύτας.* II 3, 18 *κινδυνεύῃ* st. *-νεύσῃ.* 46, 4 *ἐπίσχοι* st. *-οις.* 118, 33 *ει* st. *εἷς.* 166, 7 *ωετά* st. *ὡς ἑτά.* 175, 6 *παιδια* st. *πεδιάς,* u. s. w. *ἀνθρώποισι* A[t].

189 μιμνέτω αὖθι τέως περ, ἐπειγόμενός περ Ἄρηος:
*ἐν τοσούτῳ, ἐν ὀλίγῳ, δίχα τοῦ „πέρ". (καὶ βραχὺ διασταλτέον ἐπὶ τὸ „τέως" προς τὸ σαφές, καὶ ἵνα διὰ τῆς σιωπῆς τοῦ χρόνου το μέτρον σώζηται.) ἐν δὲ ταῖς εἰκαιοτέραις μετὰ τοῦ „πέρ". B.
5 *Didymi et Nicanoris adnotationes in unum coaluisse videntur ... Ut hoc loco distinctione syllaba praecedens producta est, ita alias insequens. Z 265 hodie editur* μή μ' ἀπογυιώσῃς μένεος δ' ἀλκῆς τε λάθωμαι; *Aristarchus legit* μή μ' ἀπογυιώσῃς μένεος — ἀλκῆς τε λάθωμαι, *interpunxit igitur post* μένεος. Friedländer Nican.
10 p. 121. Die eingeklammerten Worte gehören nicht dem Didymos; auch trage ich das grösste Bedenken, die Lesart αὖθι τέως ἐπειγόμενός περ dem Aristarch beizulegen, weil ich keinen analogen Fall weiss, wo er so ἀμέτρως geschrieben hätte. Der Cod. B ist für dergleichen nichts weniger als zuverlässig; sein
15 Didymeischer Bericht könnte leicht unvollständig sein und ehemals möglichenfalls etwa so gelautet haben: δίχα τοῦ πέρ „τέως κατεπειγόμενος". — Über die εἰκαιότεραι s. Einl. S. 47.

205 ὑμεῖς δ' ἐς βρωτὺν ὀτρύνετον —:
*κατ' ἔνια ἔξω τοῦ σ̄ „ὑμεῖς δὲ βρωτύν". Cod. Athous.

20 208 τεύξεσθαι μέγα δόρπον, ἐπὴν τισαίμεθα λώβην:
†ἡ „μετά" τὸ μετὰ εὐφροσύνης καὶ χαρᾶς τῆς ἐκ τῆς ἥσσης τῶν πολεμίων γενησομένης. B. †„μετά" τὸ μετὰ εὐφροσύνης. οἱ δὲ γράφουσι „μέτα", ἀντὶ τοῦ μετὰ τὸ νικῆσαι. V. Das erstere Scholion und der Anfang des zweiten sind wohl nur
25 irrthümlich hierher verschlagen (aus Vs. 201?).

239 Φυλείδην τε Μέγητα Θόαντά τε Μηριόνην τε:
*Ζηνόδοτος ... γράφει „Φυλείδην τε Μέγην τε". Aristonikos zu *N* 692; s. denselben zu *K* 175.

245 ἐκ δ' ἄγον αἶψα γυναῖκας ἀμύμονα ἔργ' εἰδυίας
30 ἕπτ', ἀτὰρ ὀγδοάτην Βρισηίδα καλλιπάρῃον:
*Ζηνόδοτος ... γράφει

ἐκ δ' ἄγεν ἑπτὰ γυναῖκας ἀμύμονα ἔργ' εἰδυίας
ἕξ, ἀτὰρ ἑβδομάτην Βρισηίδα καλλιπάρῃον".

Aristonikos zu *I* 131. Vgl. denselben zu *I* 638 u. Did. *I* 128.

---

4 μέτρον B, μέρος die Herausg. (corr. schon Friedländer). 12 *Quum* τέως *metro repugnet,* τεῖος *et cum G. Hermanno* αὐτόθι *pro* αὖθι *scripsi.* La Roche. 20 μέγα] μετά V. 23 οἱ δὲ γρ' μετᾱ V, aber die beiden letzten Buchstaben auf Ras. (Heyne VII p. 651 μέτα); vielleicht stand im Archetypus οἱ δὲ γράφουσι „μέγα"· ἄμεινον δὲ „μέτα". 32 ἄγεν ἑπτά]

257 *εὐξάμενος δ' ἄρα εἶπεν ἰδὼν εἰς οὐρανὸν εὐρύν*: *„*εὐχόμενος*“· *εὔχετο γάρ, οὐκ ἤδη εὔξατο*. B. Vgl. zu *I* 509. Friedländer Ariston. p. 4. Merkel proleg. ad Apollon. Rh. p. CXIII.

259 *Γῆ τε καὶ Ἠέλιος καὶ Ἐρινύες, αἵ θ' ὑπὸ γαῖαν*
ἀνθρώπους τίνυνται, ὅ τίς κ' ἐπίορκον ὀμόσσῃ: 5
**τινὲς „οἵ τε“, ἐπὶ Πλούτωνος καὶ Περσεφόνης*. V.

327 *εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής*: [*ἀθετεῖται*.] *καὶ Ἀριστοφάνης προηθέτει τὸν στίχον, ὥς φησι Καλλίστρατος. τό τε γὰρ ἐπὶ παιδὸς κομιδῇ λέγεσθαι διστακτικῶς „εἴ που ἔτι ζώει“, καὶ ταῦτα μηδὲ πόρρω τῆς Σκύρου* 10 *κειμένης, ὕποπτον, τό τε „θεοειδής“ ἀκαίρως προσέρριπται. τεκμήριον δὲ τῆς διασκευῆς τὸ καὶ ἑτέρως φέρεσθαι τὸν στίχον, „εἴ που ἔτι ζώει γε Πυρῆς ἐμός, ὃν κατέλειπον“*. A. Der Vers ist im Ven. A mit dem Obelos versehen; übrigens spricht das Scholion selbst (besonders *προηθέτει*) deutlich genug dafür, dass 15 Aristarch ihn athetirte: ich habe daher *ἀθετεῖται* zugefügt. Lehrs Arist.[2] p. 343. Einl. § 15.

333 *κτῆσιν ἐμὴν δμωάς τε καὶ ὑψερεφὲς μέγα δῶμα*: *οὕτως Ἀρίσταρχος „δμῶας“ ἔξω τοῦ ι*. A[t]. Vgl. zu *τ* 121.

342 *τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος*: 20 **Ζηνόδοτος γράφει „ἑοῖο“*. Ariston. Vgl. zu *O* 138.

365 *τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε· τὼ δέ οἱ ὄσσε —*: *ἀθετοῦνται στίχοι τέσσαρες* [365—368]· *γελοῖον γὰρ τὸ βρυχᾶσθαι τὸν Ἀχιλλέα, ἥ τε συνέπεια οὐδὲν ζητεῖ διαγραφέντων αὐτῶν. ὁ δὲ Σιδώνιος ἠθετηκέναι μὲν τὸ πρῶτόν φησιν αὐτοὺς* 25 *τὸν Ἀρίσταρχον, ὕστερον δὲ περιελεῖν τοὺς ὀβελούς, ποιητικὸν νομίσαντα τὸ τοιοῦτο. ὁ μέντοι Ἀμμώνιος ἐν τῷ περὶ τῆς ἐπεκδοθείσης διορθώσεως οὐδὲν τοιοῦτο λέγει*. A. *Hoc ideo factum erat (ne quis haec inter se pugnare putet), quod illam novam sententiam*

---

vielmehr *ἄγον αἶψα*. Zu *I* 638 erwähnt Aristonikos nur *ἕξ, ἀτὰρ ἑβδομάτην Βρ.* als Zenodotische Lesart. Damit stimmt überein Schol. V (Ariston.) zu *T* 246 *Ζηνόδοτος „ἕξ, ἀτὰρ ἑβδομάτην“, τοῦ ποιητοῦ λέγοντος „δώσω δ' ἑπτὰ γυναῖκας Λεσβίδας“* [*I* 128]. *ἡ δὲ Βρισηὶς Λυρνησσὶς ἦν*. 2 *„εὐχόμενος“· οὐ γὰρ ηὔξατο ἤδη*. V. 8 *ὡς φησὶ* A 9 *Καλλίστρατος*] wohl in der Schrift *πρὸς τὰς ἀθετήσεις* (*A* 424), wie schon Bekker Scholl. p. 820[c] vermuthete. 25 *πρῶτον φησὶν* A. *αὐτῶν τοὺς ἀριθμούς* A, *αὐτοὺς Ἀρίσταρχον? Ἀρίσταρχον τοὺς στίχους?* Bekker p. 830, *αὐτοὺς τὸν Ἀρίσταρχον* Lehrs Arist.[2] 346. 27 *νομίσαν̄* A, *νομίσαντας* Vill. Bekk., corr. Lehrs das.

Aristarchus post alteram demum emissam editionem in schola exponere coeperat. Lehrs Arist.[2] 346.

376 *καιομένοιο πυρός· τὸ δὲ καίεται ὑψόθ' ὄρεσφι:* Ἀρίσταρχος „τό τε καίεται“. A[t].

384 *πειρήθη δ' ἕο αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς:* οὕτως „ἕο αὐτοῦ“ αἱ Ἀριστάρχου· Ζηνόδοτος „ἑοῦ αὐτοῦ“. A[t]. Bestätigt Aristonikos z. St.; s. noch zu *B* 239.

386 *τῷ δ' εὗτε πτερὰ γίγνετ', ἄειρε δὲ ποιμένα λαῶν:* οὕτως „εὗτε“ Ἀρίσταρχος· συνέσταλται δὲ τὸ ἠῦτε, καὶ διὰ τοῦ ε εἴρηται. παρὰ δὲ Ἀριστοφάνει „τῷ δ' ὥστε“. ἐν δὲ ταῖς ἀπὸ τῶν πόλεων „τῶν δ' αὗτε“. A. Das andere Scholion spricht Lehrs wohl mit Recht dem Didymos ab (auch Friedländer Ariston. p. 33): οὕτως γραπτέον „τῷ δ' εὗτε“, ἵνα ᾖ ὡσεὶ πτερὰ διὰ τὴν κουφότητα· ἔξωθεν δὲ τὸ ὥς [*'sic Vill. et Bekk. Sed apparet ab* ἔξωθεν *novum scholium incipere explicantis* αὗτε' Lehrs]. πρότερον δὲ γράφων ὁ Ἀρίσταρχος „τῷ δ' εὗτε“, καὶ κατὰ συστολὴν δεχόμενος ἀντὶ τοῦ ἠῦτε, ὡς ἐπὶ τοῦ „εὗτ' ὄρεος κορυφῇσι“ [*Γ* 10], μετέγραψεν ὕστερον „τῷ δ' αὗτε“, ἐμφατικώτερον νομίσας εἶναι, ὑπακουομένου τοῦ ὥς, ὡς κἀκεῖ „καιροσέων δ' ὀθονέων ἀπολείβεται“ [η 107]. A. *Hoc schol. non Didymi propter Γ 10. Nec comparatio cum Od.* η *107 Aristarchea videtur: quippe quod illic inter scholia legitur* ὅτι καὶ ἐπὶ ἐρίων ὀθόναι λέγονται *id potius speciem habet Aristarcheae observationis ex Aristonico petitae. Quamquam id ipsum verum extrinsecus nonnunquam assumptum esse* ὡς *ab Aristarcho:* ὁ δὲ φῆ κώδειαν ἀνασχών *Ξ 499.* Lehrs.

388 *βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν —:*

*ἀθετοῦνται στίχοι τέσσαρες, ὅτι ἐκ τοῦ Πατρόκλου ὁπλισμοῦ [*Π* 141—144] μετάκεινται. ἡ δὲ περιεστιγμένη διπλῆ, ὅτι ἐνταῦθα μὲν αὐτοὺς Ζηνόδοτος καταλέλοιπεν, ἐπὶ δὲ Πατρόκλου ἠθέτηκεν. Ariston. *οὐδὲ ἐν ταῖς ἄλλαις ἦσαν οἱ ἀθετούμενοι. A[t]. Das Scholion des Aristonikos führt das Lemma ἐκ δ' ἄρα

---

3 τόδε A im Text. 6 ἕο] εο A[t]. ἑοῦ] εου A[t]. 8 εὗτε A, aber im Text ηῦτε. 9 Ἀρίσταρχος „εὗτε“. A[t]; συστολὴ ἀπὸ τοῦ ἠῦτε. γρ' αὗται [so], ἵνα λείπῃ τὸ ὡς. V. ἠῦτε] ηῦτε A. 11 τῶν δ' A, τῷ δ' Vill., wahrscheinlich richtig: s. zu *H* 32. 17 ἠῦτε] ηῦτε A. 20 καιροσέων δ' ὀθονέων Bekk., καί ρ' und Lücke A. 29 οὗτοι καὶ ἐπὶ Πατρόκλου κεῖνται, ἵνα γνῶμεν διὰ τί παρέλιπεν αὐτό κτέ. BV.

σύριγγος [387] und im Text des Ven. A sind fünf Verse mit dem Obelos versehen, 387 – 391: daraus schlossen Cobet, Dindorf und Nauck, dass bei Aristonikos *πέντε* für *τέσσαρες* zu schreiben sei. Dies wäre indessen nur dann überzeugend, wenn der Vers *T* 387 mit *Π* 140 identisch wäre; nun aber lautet 5 jener *ἐκ δ' ἄρα σύριγγος πατρώιον ἐσπάσατ' ἔγχος*, dieser *ἔγχος δ' οὐχ ἕλετ' οἶον ἀμύμονος Αἰακίδαο*, also ganz verschieden. Folglich kann von *T* 387 nicht wohl gesagt werden *ὅτι ἐκ τοῦ Πατρόκλου ὁπλισμοῦ μετάκειται.* Noch verdient bemerkt zu werden, dass die im Scholion erwähnte *διπλῆ περιεστιγμένη* in 10 A neben Vs. 388 (nicht 387) gesetzt ist.

390 *Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων:* ***καὶ „πόρε Χείρων". A[t]. Zu *Π* 143 hiess es *διχῶς, καὶ „τάμε" καὶ „πόρε"*. Vgl. Einl. S. 34.

391 *Πηλίου ἐν κορυφῇς, φόνον ἔμμεναι ἡρώεσσιν:* 15 *οὕτως πληθυντικῶς αἱ Ἀριστάρχου.* A[t]: d. i. *ἐν κορυφῇς*, nicht *ἐκ κορυφῆς*. Vgl. zu *Π* 144.

ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
393 *ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν' ἕσαν —:*
οὕτως διὰ τοῦ ō „ζεύγνυον". A[t]: nicht *ζεύγνυσαν*. 20

407 *αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη:*
***ἀθετεῖται.* Aristonikos; s. denselben zu Vs. 418.

416 *ἦν περ ἐλαφροτάτην φάσ' ἔμμεναι· ἀλλὰ σοὶ αὐτῷ*
μόρσιμόν ἐστι θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι:
***ἀθετοῦνται στίχοι καὶ οὗτοι οἱ δύο.* Ariston. 25

ΙΛΙΑΔΟΣ Υ.

ὣς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο
2 *ἀμφί σε, Πηλέος υἱέ, μάχης ἀκόρητον Ἀχαιοί:*
***ἐὰν πληθυντικῶς γράφηται „ἀκόρητοι", συνάψομεν τῇ τελευταίᾳ λέξει ὡς ἂν ἐπιθετικὸν ἐκείνης· ἐὰν δὲ ἑνικῶς „ἀκόρη- 30 τον", βραχὺ διαστελοῦμεν· ἐπὶ γὰρ τοῦ Ἀχιλλέως ἀκουσθήσεται.*

---

15 *ἐκ κορυφῆς* A im Text. 29 *εἰ μὲν πληθυντικῶς εἴπωμεν, ἡ στιγμὴ εἰς τὸ „υἱέ"· εἰ δὲ ἑνικῶς, ἐπὶ Ἀχιλλέως, διαστολὴ εἰς τὸ „ἀκόρητον".* B. *γράφηται* bis *ἐκείνης*] *γρ'. ἐπὶ τέλους ἡ στιγμὴ τίθεται* V. 30 *ἀκόρητον* fehlt A. 31 *βραχὺ* bis *ἀκουσθήσεται*] *ἐπὶ Ἀχιλλέως κειμένου τοῦ ὀνόματος, ἐπὶ τὸ ἀκόρητον ἐπὶ Ἀχιλλέως κειμένων.* so V.

Nikanor in AV. Sollte Aristarch zwischen *ἀκόρητοι* und *ἀκόρητον* geschwankt haben? (Einl. § 8.)

11 *ξεστῇς αἰθούσῃσιν ἐνίζανον, ἃς Διὶ πατρὶ —*: *Ζηνόδοτος γράφει „ἐφίζανον“.* Ariston. (*Aristarchea lectio* 5 *igitur videbitur ἐνίζανον, quod est in textu Ven.* Lehrs.) *τινὲς δὲ γράφουσιν „ἐνίδρανον“, καθέδρας οἰηθέντες εἶναι τὰς αἰθούσας.* AV.

12 *Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσιν*: *οὕτως διὰ τοῦ ῑ τὸ „ἰδυίῃσι“ καὶ τέλειον τὸ „ποίησε“.* A[t]. 10 Andere *ποίησ' εἰδυίῃσι.* Vgl. zu *Α* 608.

28 *καὶ δέ τέ μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες*: *Ἀρίσταρχος „καὶ δέ τί μιν“ διὰ τοῦ ῑ.* A[t].

30 *δείδω, μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ*: †*τινὲς γράφουσιν ἀντὶ τοῦ δείδω μὴ καὶ τεῖχος*

15 *„οὐ μέν τοι μοῖρ' ἐστὶν ἔτι ζωοῦ Ἀχιλῆος*
Ἰλίου ἐκπέρσαι εὐναιόμενον πτολίεθρον·
πέρσει δουράτεος ἵππος καὶ μῆτις Ἐπειοῦ“.

πῶς γὰρ ὁ εἰδὼς „μοῖράν τ' ἀμμορίην τε“ [υ 76] *νῦν διστάζει;* V.

20 35 *Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται*: *Ἀρίσταρχος „κέκασται“, οὐ διὰ τοῦ ō „κέκαστο“.* A[t].

40 *Λητώ τε Ξάνθος τε φιλομειδής τ' Ἀφροδίτη*: †*γράφεται „Διὸς θυγάτηρ“· ἄτοπον γὰρ τὸ „φιλομειδής“ ἐπὶ τῆς πολεμούσης.* V.

25 57 *ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξε*: *Ἀρίσταρχος Ἰακῶς „αὐτὰρ νέρθε“.* A[t].

59 *πάντες δ' ἐσσείοντο πόδες πολυπίδακος Ἴδης*: *οὕτως Ἀρίσταρχος „πολυπίδακος“, ἄλλοι δὲ „πολυπιδάκου“.* A[t]. Vgl. zu *Ξ* 157.

30 62 *δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε —*: *ἐν ἄλλῳ „ἐκ θρόνου ὦρτο“· οὕτως καὶ ἡ Μασσαλιωτική.* A[t]. Die Form des Schol. ist nicht ursprünglich: s. Einl. S. 156.

---

4 *ἔννιοι* [so st. *ἔνιοι*] *„ἐφίζανον“.* A[t]. 6 *γράφουσι* V. *εἶναι τὰς αἰθούσας* fehlt A. 9 *ὅτι πανταχοῦ ἐν τῷ „ἰδυίαις πραπίδεσσι“ διὰ τοῦ ῑ γράφει ὁ ποιητὴς τὴν ἄρχουσαν τοῦ ἰδυίαις, ἵνα διαφέρει* [? -ῃ] *τῆς μετοχῆς ὡς μετοχικόν.* Eust. 1193, 26. 15 *ἐστὶ ἔτι* V, *ἐστὶν ἐπὶ* Heyne VIII p. 12. *Ἀχιλλῆος* V. 16 *Ἰλίον ἐκπέρσας* V, *Ἴλιον ἐκπέρσαι* Heyne. *πολίεθρον* V. 17 *ἔπερσε δουράτεος* V, *πέρσε δὲ δουρ.* conj. Heyne, *πέρσει δουράτεός θ'* Spitzner, *δουράτεος δ' ἵππος πέρσει* Nauck. 18 *μοῖραν π' ἀμμ.* V.

77 *Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά γε θυμὸς ἀνώγει*
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν:
Ἀρίσταρχος „μάλιστά ἑ“, μάλιστα αὐτόν. A[t].
84 *ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο οἰνοποτάζων:*
οὕτως διὰ τοῦ ῑ „ὑπίσχεο“. A[t]. Andere *ὑπέσχεο.* 5
114 *ἡ δ' ἄμυδις καλέσασα θεοὺς μετὰ μῦθον ἔειπε:*
Ἀρίσταρχος τὸ ῆ ἄρθρον ἐκδέχεται· Ζηνόδοτος δὲ περιέσπασε καὶ ἐψίλωσεν, ῥῆμα ἐκδεξάμενος, ὁμοίως τῷ „ἦ καὶ κυανέῃσιν“ [*Α* 528], *καὶ τὸ ὅλον μεταποιεῖ „ἦ δ' ἄμυδις καλέσασα θεοὺς ῥεῖα ζώοντας“ (ἔφη δὲ εἰς ἓν συναγαγοῦσα τοὺς θεούς). ἠγνό-* 10
ησε δέ, ὡς ὁ ποιητὴς οὐ χρῆται τῷ ἦ ῥήματι ἐν ἀρχῇ λόγου, ἀλλὰ τοῖς ῥηθεῖσιν ἐπιλέγει. καὶ τούτῳ γε παρ' αὐτῷ διαφέρει τοῦ ἔφη, ὅτι τὸ μὲν καὶ προτάττεται καὶ ὑποτάττεται. Ἀρίσταρχος δὲ „ἡ δ' ἄμυδις στήσασα“, καὶ αἱ πλεῖσται. AV Townl.
in An. Par. III 290, 22. (*ὅτι Ζηνόδοτος γράφει „θεοὺς ῥεῖα* 15
ζώοντας“, ἐξ οὗ φανερός ἐστι κατὰ τὸ περισπώμενον ἀνεγνωκὼς „ἦ δ' ἄμυδις“, ἵν' ᾖ ἔφη, ὡς ἐκεῖ „ἦ καὶ κυανέῃσιν“. ἠγνόηκε δέ, ὅτι ἐπί τισι προειρημένοις τίθεται παρ' Ὁμήρῳ τὸ ἦ, οὐκ ἐν ἀρχῇ λόγου. Aristonikos). In das Scholion des Didymos
ist aller Wahrscheinlichkeit nach Einiges aus Herodian hinein- 20
gekommen.
125 *πάντες δ' Οὐλύμποιο κατήλθομεν ἀντιόωντες —:*
* *ἕως τοῦ „γεινομένῳ ἐπένησε“* [128] *ἀθετοῦνται στίχοι τέσσαρες.*
Aristonikos; s. denselben zu *Ω* 210.

---

1 *μάλιστά τε* V. 3 *„μάλιστά ἑ“, μάλιστα αὐτόν· οὕτως.* V.
